Τῷ γαληνοτάτῳ, ἐνδοξοτάτῳ τε καὶ χριστιανικωτάτῳ ἡγεμόνι κυρίῳ κυρίῳ Ἰωάννῃ Σερβάνῳ Κανταχουζηνῷ, βοϊβόδᾳ πάσης Οὐγγροβλαχίας, Κραϊόβης καὶ τῶν ἑξῆς, Νικόλαος ὁ Γλυκὺς εὐδαιμόνως διάγειν.

Τὰ καλά, πανευκλεέστατε ἡγεμών, καταμελούμενα γίνεταί τε τῷ χρόνῳ ἐξίτηλα καὶ λήθην ἀμπέχεται. Ὁ γὰρ χρόνος, ὁ τά τε ἄδηλα φύων (κατὰ τὴν τραγῳδίαν) καὶ τὰ φανέντα κρυπτόμενος, οὐδὲν οὐδαμῇ πω ἀδιαλώβητον συντετήρηκεν, ἀλλὰ φύσιν ἔχει τὰ μὲν ἀμαυροῦν, τὰ δὲ παντάπασιν ἀφανείᾳ καταβυθίζειν. Εἰ δὲ μὴ ἦν τι τὸ τὴν τοιαύτην ἀνακόπτον τοῦ χρόνου ῥοήν, πάλαι ἂν τὰ καλὰ ἐξ ἀνθρώπων ἐγένετο. Τοῦτο δὲ τί ἂν ἕτερον εἴη, ἢ ὁ τῶν παλαιουμένων ἐγκαινισμὸς τῷ τοῦ χρόνου ἀντικαθιστάμενος σθένει, καὶ οὐκ ἐῶν τὰ ἅπαξ γεγενημένα ῥᾳδίως διόλλυσθαι, ἀλλ' ἐς τὸν ἅπαντα κατὰ διαδοχὴν διαμένειν αἰῶνα ἵνα τούτων οἵ τε πρόγονοι μετέχωσι, καὶ μὴ στερίσκωνται οἱ ἀπόγονοι; Τοῦτο κἀγώ, θεοδόξαστε καὶ ὑψηλότατε ἡγεμών, ἐγνωκώς, ἠνιώμην μὲν οὐ μετρίως, οὐ μέντοι καί τινα τοῖς πράγμασιν ἠδυνάμην συνεισφέρειν ἐπικουρίαν, πολλῶν ὄντων τῶν ὁσημέραι γινομένων καὶ φθειρομένων. Δεῖν οὖν ᾠήθην, εἰ μήτοιγε πᾶσι, κἂν γοῦν τοῖς ἀναγκαιοτέροις, ὡς ἐφικτόν, ἐπαρκέσαι. Καὶ δὴ τὴν θείαν ὁρῶν καὶ ἱερὰν τῷ ὄντι γραφὴν ἑλληνιστὶ τυπωθεῖσαν μὲν οὐχ ἅπαξ καὶ δίς, ἀλλὰ καὶ πολλάκις καθ' ὃν δηλονότι χρόνον καὶ ἡ ἑλληνὶς ἤνθει φωνή, καὶ παρὰ πολλοῖς τοῖς τε κατὰ τὴν ἕω καὶ τοῖς καθ' ἕσπερον ἤκμαζεν, νῦν δὲ ταύτης (φεῦ τῆς τύχης!) παρ' ὀλίγοις βραχείας ἀξιουμένης τιμῆς, καὶ πάνυ ἀναριθμήτων ὄντων τῶν γλιχομένων αὐτῆς, καταμελουμένην τε δυστυχῶς καὶ τύποις ἑτέροις μηδαμῶς ἀνακαινουμένην, ἀλλὰ κινδυνεύουσαν ὥστε κατὰ βραχὺ παλαιωθεῖσαν ἐλθεῖν (ὃ μὴ γένοιτο) εἰς παντελῆ μὲν ἀφάνειαν οὐχ, εἰς ἐσχάτην μέντοιγε σπανιότητα καὶ μάλα, ὅπερ καὶ ἄλλαι φιλοσόφων τε καὶ θεολόγων πεπόνθασι βίβλοι, ἔνθεν τοι καὶ τὴν ἀρίστην πασῶν τῶν ἀνέκαθεν μέχρι τοῦδε τυπωθεισῶν ἐκλεξάμενος, τύποις τοῖς ἐμοῖς ἀνανεῶσαι ταύτην οὐχ ὤκνησα. Ἦν μὲν οὖν πάμπολλα τὰ ἀντιπίπτοντα πρὸς τουτοί μου τοὐγχείρημα, μάλιστα δὲ πάντων ἥ τε τῶν χρημάτων δαπάνη ὅτι πλείστης δεομένη ποσότητος καὶ ἡ τοῦ βίου ἀδηλότης· διετῆ